ψυχάν· μόρος γὰρ ἀπότομος
πλάθει· θεῶν δ᾽ ἐπ᾽ ἐσχάραις
οὐκ ἔχω ἐπὶ τίνα
μηλοθύταν πορευθῶ.
μόνος δ᾽ ἄν, εἰ φῶς τόδ᾽ ἦν antistr.
ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ᾽
ἦλθεν ἕδρας σκοτίας
Ἅιδα τε πύλας·
δμαθέντας γὰρ ἀνίστη,
πρὶν αὐτὸν εἷλε Διόβολον
πλῆκτρον πυρὸς κεραυνίου
νῦν δὲ τίν᾽ ἔτι βίου
ἐλπίδα προσδέχωμαι;
πάντα γὰρ ἤδη τετέλεσται βασιλεῦσι,
πάντων δὲ θεῶν ἐπὶ βωμοῖσι
αἱμόρραντοι θυσίαι πλήρεις,
οὐδ᾽ ἔστι κακῶν ἄκος οὐδέν.
ἀλλ᾽ ἥδ᾽ ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
δακρυρροοῦσα, τίνα τύχην ἀκούσομαι;
πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,
συγγνωστόν· εἰ δ᾽ ἔτ᾽ ἐστὶν ἔμψυχος γυνὴ
εἴτ᾽ οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ᾽ ἄν.
ΘΕ. καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.
ΧΟ. καὶ πῶς ἂν αὑτὸς κατθάνοι τε καὶ βλέποι;
ΘΕ. ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.
ΧΟ. ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.
ΘΕ. οὔπω τόδ᾽ οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.
ΧΟ. ἐλπὶς μὲν οὐκέτ᾽ ἐστὶ σῴζεσθαι βίον;
ΘΕ. πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
ΧΟ. οὔκουν ἐπ᾽ αὐτῇ πράσσεται τὰ πρόσφορα;

---

118. *ψυχάν BC ψυχᾶς* vel *ψυχῆς* ceteri. *ἀπότομος*] Blomfieldius, *ἄποτμος* libri. 125. *σκοτίους BC* 129. *πλᾶκτρον BC* 130. *τίνα βίου BC* 131. *προσδέχωμαι*] Musgravius, *προσδέχομαι* libri. 135. *οὐδ᾽ BC ἀλλ᾽ οὐδ᾽* ceteri. 141. om. BC *καὶ θανεῖν ἔξεστί σοι* bcd 145. *πάθῃ*] Blomfieldius, *πάθοι* libri. 146. *σώσασθαι BC* 148. *αὐτοῖς BC*